ΕΠΑΝΑΛΗΠΤΙΚΕΣ ΠΡΟΑΓΩΓΙΚΕΣ ΕΞΕΤΑΣΕΙΣ
Β΄ ΤΑΞΗΣ ΕΝΙΑΙΟΥ ΛΥΚΕΙΟΥ
ΤΕΤΑΡΤΗ 11 ΣΕΠΤΕΜΒΡΙΟΥ 2002
ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ
ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ : ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ

Κείμενο διδαγμένο από το πρωτότυπο
Λυσίου *Ὑπὲρ Μαντιθέου,* 9-11

9 Περὶ μὲν τοίνυν αὐτῆς τῆς αἰτίας οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· δοκεῖ δέ μοι, ὦ βουλή, ἐν μὲν τοῖς ἄλλοις ἀγῶσι περὶ αὐτῶν μόνων τῶν κατηγορημένων προσήκειν ἀπολογεῖσθαι, ἐν δὲ ταῖς δοκιμασίαις δίκαιον εἶναι παντὸς τοῦ βίου λόγον διδόναι. δέομαι οὖν ὑμῶν μετ' εὐνοίας ἀκροάσασθαί μου. ποιήσομαι δὲ τὴν ἀπολογίαν ὡς ἂν δύνωμαι διὰ βραχυτάτων.

10 Ἐγὼ γὰρ πρῶτον μέν, οὐσίας μοι οὐ πολλῆς καταλειφθείσης διὰ τὰς συμφορὰς καὶ τὰς τοῦ πατρὸς καὶ τὰς τῆς πόλεως, δύο μὲν ἀδελφὰς ἐξέδωκα ἐπιδοὺς τριάκοντα μνᾶς ἑκατέρᾳ, πρὸς τὸν ἀδελφὸν δ' οὕτως ἐνειμάμην ὥστ' ἐκεῖνον πλέον ὁμολογεῖν ἔχειν ἐμοῦ τῶν πατρῴων, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας οὕτως
11 βεβίωκα ὥστε μηδεπώποτέ μοι μηδὲ πρὸς ἕνα μηδὲν ἔγκλημα γενέσθαι. καὶ τὰ μὲν ἴδια οὕτως διῴκηκα· περὶ δὲ τῶν κοινῶν μοι μέγιστον ἡγοῦμαι τεκμήριον εἶναι τῆς ἐμῆς ἐπιεικείας, ὅτι τῶν νεωτέρων ὅσοι περὶ κύβους ἢ πότους ἢ [περὶ] τὰς τοιαύτας ἀκολασίας τυγχάνουσι τὰς διατριβὰς ποιούμενοι, πάντας αὐτοὺς ὄψεσθέ μοι διαφόρους ὄντας, καὶ πλεῖστα τούτους περὶ ἐμοῦ λογοποιοῦντας καὶ ψευδομένους.

Α. Από το κείμενο που σας δίνεται, να μεταφράσετε στο τετράδιό σας το τμήμα: "**Περὶ μὲν τοίνυν ... τριάκοντα μνᾶς ἑκατέρᾳ**".

Μονάδες 10

Β. Να γράψετε στο τετράδιό σας τις απαντήσεις των παρακάτω ερωτήσεων:

Β1. Να ορίσετε συνοπτικά το περιεχόμενο της "δοκιμασίας" και να αιτιολογήσετε για ποιους λόγους ο θεσμός αυτός διασφάλιζε στην Αθήνα τη λειτουργία του δημοκρατικού πολιτεύματος.

Μονάδες 15

Β2. Πώς διαγράφεται το ήθος του Μαντιθέου με βάση το απόσπασμα "**Ἐγὼ γὰρ πρῶτον μέν ... λογοποιοῦντας καὶ ψευδομένους**";

Μονάδες 15

Β3. Ποια ανάγκη υπαγόρευε την ύπαρξη λογογράφων στην αρχαία Αθήνα και ποια προσόντα έπρεπε να διαθέτουν όσοι αναλάμβαναν να ασκήσουν το επάγγελμα αυτό;

Μονάδες 10

Β4. Να γράψετε δύο ομόρριζα (απλά ή σύνθετα, της αρχαίας ή της νέας ελληνικής) από το β΄ συνθετικό καθεμιάς από τις παρακάτω λέξεις: **συμφοράς, ἐπιδούς, ὁμολογεῖν, καταλειφθείσης, ἔγκλημα.**

Μονάδες 10

Γ. Αδίδακτο κείμενο

Ἀχιλλεὺς Τάτιος, *Τὰ περὶ Λευκίππην καὶ Κλειτοφῶντα Β΄*, XXII. 1-2

Λέγει τοίνυν κώνωψ ἀλαζών ποτε πρὸς λέοντα. "Εἶτα κἀμοῦ **βασιλεύειν** νομίζεις ὡς τῶν ἄλλων θηρίων; Ἀλλ' οὔτε **μου** καλλίων οὔτε **ἀλκιμώτερος** ἔφυς οὔτε μείζων. Ἐπεὶ τίς σοι πρῶτόν ἐστιν ἀλκή;

Ἀμύσσεις τοῖς ὄνυξι καὶ δάκνεις **τοῖς ὀδοῦσι**. Ταῦτα γὰρ οὐ ποιεῖ μαχομένη γυνή; Ποῖον δὲ μέγεθος ἢ κάλλος σε κοσμεῖ; Στέρνον πλατύ, ὦμοι παχεῖς καὶ πολλὴ περὶ τὸν αὐχένα κόμη. Τὴν κατόπιν οὖν αἰσχύνην οὐχ ὁρᾷς; Ἐμοὶ δὲ μέγεθος μὲν ὁ ἀὴρ ὅλος, ὅσον μου καταλαμβάνει **τὸ πτερόν**, κάλλος δὲ αἱ **τῶν λειμώνων** κόμαι· αἱ μὲν γάρ εἰσιν ὥσπερ ἐσθῆτες, ἃς ὅταν θέλω παῦσαι τὴν πτῆσιν ἐνδύομαι".

ἀμύσσεις: χαράζεις, γρατσουνίζεις

Γ1. Να μεταφράσετε στο τετράδιό σας το παραπάνω κείμενο.

Μονάδες 20

Γ2 Να γράψετε τον τύπο που σας ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

κώνωψ:	αιτιατική ενικού
μείζων:	δοτική πληθυντικού του υπερθετικού βαθμού
καταλαμβάνει:	γ΄ πρόσωπο ενικού οριστικής β΄ αορίστου
ὁρᾷς:	γ΄ πρόσωπο πληθυντικού οριστικής υπερσυντελίκου
ἃς:	δοτική πληθυντικού

Μονάδες 10

Γ3.α. Να αντιγράψετε στο τετράδιό σας τις δευτερεύουσες προτάσεις του αποσπάσματος "**'Εμοί δὲ μέγεθος ... πτῆσιν ἐνδύομαι**" και να τις αναγνωρίσετε.

Μονάδες 4

Γ3.β. Να αναγνωρίσετε συντακτικά τις λέξεις:

βασιλεύειν
μου
ἀλκιμώτερος
τοῖς ὀδοῦσι
τὸ πτερόν
τῶν λειμώνων

Μονάδες 6